ἄνθη τοcαῦτα, τἆλλα δ' ἄν τιc καταβάληι,
ἀπέδωκεν ὀρθῶc καὶ δικαίωc, οὐ [πλέον
ἀλλ' αὐτὸ τὸ μέτρον. ὁ Cύροc εἰcένεγχ' ὅμωc
πάνθ', ὅcα ⟨γε⟩ φέρομεν· ταῦτα πάντ' εἰc τοὺc γάμουc.
ὦ χαῖρε πολλά, Μυρρίνη.
(Μυ.) νὴ καὶ cύ γε.
⟨Δα.⟩ οὔ cε καθεώρων, γεννικὴ καὶ κοcμία
γύναι. τί πράττειc; βούλομαι c' ἀγαθῶν λόγων,
μᾶλλον δὲ πράξεων ἐcομένων, ἂν οἱ θεοὶ
θέλωcι, γ[εῦc]αι καὶ φθάcαι πρῶτο̣[c φράcαc.
ὁ Κλεαίνετοc γάρ, οὗ τὸ μειράκιον [τὸ cὸν
ἐργάζεται, πρώην ποτ' ἐν ταῖc ἀμπέλοιc
cκάπτων διέκοψε τὸ cκέλοc χρηcτῶc πάνυ.
⟨Μυ.⟩ τάλαιν' ἐγώ.
(Δα.) θάρρει· τὸ πέραc δ' ἄκουέ μου.
ἀπὸ τοῦ γὰρ ἕλκουc, ὡc τριταῖον ἐγένετο,
βουβὼν ἐπήρθη τῶι γέροντι θέρμα τε
ἐπέλαβεν αὐτὸν καὶ κακῶc ἔcχεν πάνυ.
(Φι.) ἀλλ' ἐκκορηθείηc cύ γ'· οἷα τἀγαθὰ
ἥκειc ἀπαγγέλλων.
(Μυ.) cιώπα, γρᾴδιον.
(Δα.) ἐνταῦθα χρείαc γενομένηc αὐτῶι τινοc
κηδεμόνοc, οἱ μὲν οἰκέται καὶ βάρβαροι,
ἐφ' οἷc ἐκεῖνόc ἐcτιν, οἰμώζειν μακρὰν
ἔλεγον ἅπαντεc, ὁ δὲ cὸc ὑόc, οἱονεὶ
νομίcαc ἑαυτοῦ πατέρα, πο[ιήc]αc [ἃ δεῖ,
ἤλειφεν, ἐξέτριβεν, ἀπένιζεν, φαγεῖν
προcέφερε, παρεμυθεῖτο, πάνυ φαύλωc ἔχειν